Τοιαῦτα τολμᾷ θῆλυς· ἄρσενος φονεὺς
Ἐστιν. τί νιν καλοῦσα δυςφιλὲς δάκος
Τύχοιμ᾽ ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
Οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
Θύουσαν Ἅιδου μητέρ᾽ ἄσπονδόν τ᾽ ἀρὰν
Φίλοις πνέουσαν; ὡς δ᾽ ἐπωλολύξατο
Ἡ παντότολμος, ὥςπερ ἐν μάχης τροπῇ.
Δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
Καὶ τῶνδ᾽ ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
Τὸ μέλλον ἥξει. καὶ σύ μ᾽ ἐν τάχει παρὼν
Ἄγαν γ᾽ ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.

ΧΟΡΟΣ.

Τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
Ξυνῆκα καὶ πέφρικα· καὶ φόβος μ᾽ ἔχει
Κλύοντ᾽ ἀληθῶς οὐδὲν ἐξῃκασμένα.
Τὰ δ᾽ ἄλλ᾽ ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.

ΚΑΣΑΝΔΡΑ.

Ἀγαμέμνονός σέ φημ᾽ ἐπόψεσθαι μόρον.

ΧΟΡΟΣ.

Εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.

ΚΑΣΑΝΔΡΑ.

Ἀλλ᾽ οὔτι Παιὼν τῷδ᾽ ἐπιστατεῖ λόγῳ.

ΧΟΡΟΣ.

Οὐκ, εἰ παρέσται γ᾽· ἀλλὰ μὴ γένοιτό πως.

ΚΑΣΑΝΔΡΑ.

Σὺ μὲν κατεύχῃ, τοῖς δ᾽ ἀποκτείνειν μέλει.

ΧΟΡΟΣ.

Τίνος πρὸς ἀνδρὸς τοῦτ᾽ ἄχος πορσύνεται;

ΚΑΣΑΝΔΡΑ.

Ἦ κάρτ᾽ ἄρ᾽ ἂν παρεσκόπεις χρησμῶν ἐμῶν·

ΧΟΡΟΣ.

Τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.

ΚΑΣΑΝΔΡΑ.

Καὶ μὴν ἄγαν γ᾽ Ἕλλην᾽ ἐπίσταμαι φάτιν.

---

1018. τοιάδε 1019. f. εἶσιν 1022. f. Ἄρην f. ἄρην 1023. v. ὡς 1027. v. σὺ μὴν τάχει 1029. v. παιδίων 1031. ἐξεικασμένα 1034. κοίμισον f. τάλαιν᾽, εὐφήμησον 1035. v. οὔτοι 1036. f. εἴπερ ἔσται γ᾽ 1038. v. τινὸς 1039. f. ἄρ᾽ αὖ — (παρεσκόπης) v. ἐμῶν·